Mark 8:31-38

## Jesus Foretells His Death and Resurrection

(Mt 16.21–28; Lk 9.22–27)

**31** Καὶ ἤρξατο διδάσκειν αὐτοὺς ὅτι δεῖ τὸν υἱὸν τοῦ
ἀνθρώπου πολλὰ παθεῖν καὶ ἀποδοκιμασθῆναι ὑπὸ τῶν
πρεσβυτέρων καὶ τῶν ἀρχιερέων καὶ τῶν γραμματέων καὶ
ἀποκτανθῆναι καὶ μετὰ τρεῖς ἡμέρας ἀναστῆναι· **32** καὶ
παρρησίᾳ τὸν λόγον ἐλάλει. καὶ προσλαβόμενος ὁ Πέτρος
αὐτὸν ἤρξατο ἐπιτιμᾶν αὐτῷ. **33** ὁ δὲ ἐπιστραφεὶς καὶ
ἰδὼν τοὺς μαθητὰς αὐτοῦ ἐπετίμησεν Πέτρῳ καὶ λέγει,
Ὕπαγε ὀπίσω μου, Σατανᾶ, ὅτι οὐ φρονεῖς τὰ τοῦ θεοῦ
ἀλλὰ τὰ τῶν ἀνθρώπων. **34** Καὶ προσκαλεσάμενος τὸν
ὄχλον σὺν τοῖς μαθηταῖς αὐτοῦ εἶπεν αὐτοῖς, Εἴ τις θέλει
ὀπίσω μου ἀκολουθεῖν, ἀπαρνησάσθω ἑαυτὸν καὶ ἀράτω
τὸν σταυρὸν αὐτοῦ καὶ ἀκολουθείτω μοι. **35** ὃς γὰρ ἐὰν
θέλῃ τὴν ψυχὴν αὐτοῦ σῶσαι ἀπολέσει αὐτήν· ὃς δ᾽ ἂν ἀπο-
λέσει τὴν ψυχὴν αὐτοῦ ἕνεκεν ἐμοῦ καὶ[10] τοῦ εὐαγγελίου
σώσει αὐτήν. **36** τί γὰρ ὠφελεῖ ἄνθρωπον κερδῆσαι τὸν
κόσμον ὅλον καὶ ζημιωθῆναι τὴν ψυχὴν αὐτοῦ; **37** τί
γὰρ δοῖ ἄνθρωπος ἀντάλλαγμα τῆς ψυχῆς αὐτοῦ; **38** ὃς
γὰρ ἐὰν ἐπαισχυνθῇ με καὶ τοὺς ἐμοὺς λόγους[11] ἐν τῇ
γενεᾷ ταύτῃ τῇ μοιχαλίδι καὶ ἁμαρτωλῷ, καὶ ὁ υἱὸς
τοῦ ἀνθρώπου ἐπαισχυνθήσεται αὐτὸν ὅταν ἔλθῃ ἐν τῇ
δόξῃ τοῦ πατρὸς αὐτοῦ μετὰ[12] τῶν ἀγγέλων τῶν ἁγίων.